οὐ δεῖ οὖν δυσφορεῖν, ἐὰν ἃ ἔχρησαν ἡμῖν πρὸς ὀλίγον, ταῦτ' ἀπαιτῶσιν· οὐδὲ γὰρ οἱ τραπεζῖται, καθάπερ εἰώθαμεν λέγειν πολλάκις, ἀπαιτούμενοι τὰ θέματα δυσχεραίνουσιν ἐπὶ τῇ ἀποδόσει, ἐάνπερ εὐγνωμονῶσι. πρὸς γὰρ τοὺς οὐκ εὐμαρῶς ἀποδιδόντας εἰκότως ἄν τις εἴποι 'ἐπελάθου ὅτι ταῦτ' ἔλαβες ἐπὶ τῷ ἀποδοῦναι;' τοῦτο δὴ τοῖς θνητοῖς ἅπασι συμβέβηκεν.
B ἔχομεν γὰρ τὸ ζῆν ὥσπερ ⟨παρακαταθήκην ἣν ἀποδοτέον τοῖς⟩ παρακαταθεμένοις θεοῖς ἐξ ἀνάγκης, καὶ τούτου χρόνος οὐδείς ἐστιν ὡρισμένος τῆς ἀποδόσεως, ὥσπερ οὐδὲ τοῖς τραπεζίταις τῆς τῶν θεμάτων, ἀλλ' ἄδηλον πόθ' ὁ δοὺς ἀπαιτήσει. ὁ οὖν ἢ αὐτὸς μέλλων ἀποθνήσκειν ἢ τέκνων ἀποθανόντων ὑπεραγανακτῶν πῶς οὐ καταφανῶς ἐπιλέλησται ὅτι καὶ αὐτὸς ἄνθρωπός ἐστι καὶ τὰ τέκνα θνητὰ ἐγέννησεν; οὐ γάρ ἐστι φρένας ἔχοντος ἀνθρώπου ἀγνοεῖν ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι θνητόν, οὐδ' ὅτι γέγονεν εἰς τὸ ἀποθανεῖν. εἰ γοῦν ἡ Νιόβη κατὰ τοὺς μύθους πρόχειρον εἶχε τὴν ὑπόληψιν ταύτην ὅτι καὶ ἡ

C 'θαλέθοντι βίῳ
βλάσταις τε τέκνων βριθομένα γλυκερὸν
φάος ὁρῶσα' (Tr. ad. 373)

τελευτήσει, οὐκ ἂν οὕτως ἐδυσχέραινεν ὡς καὶ τὸ ζῆν ἐθέλειν ἐκλιπεῖν διὰ τὸ μέγεθος τῆς συμφορᾶς καὶ τοὺς θεοὺς ἐπικαλεῖσθαι ἀνάρπαστον αὑτὴν γενέσθαι πρὸς ἀπώλειαν τὴν χαλεπωτάτην.

*Δύ'* ἐστὶ τῶν Δελφικῶν γραμμάτων τὰ μάλιστ' ἀναγκαιότατα πρὸς τὸν βίον, τὸ 'γνῶθι σαυτὸν' καὶ τὸ 'μηδὲν ἄγαν'· ἐκ τούτων γὰρ ἤρτηται καὶ τἆλλα πάντα. ταῦτα δ' ἐστὶν ἀλλήλοις συνῳδὰ καὶ σύμφωνα, καὶ διὰ θατέρου θάτερον ἔοικε δηλοῦσθαι κατὰ δύναμιν. ἔν τε γὰρ τῷ γιγνώσκειν ἑαυτὸν
D περιέχεται τὸ μηδὲν ἄγαν, καὶ ἐν τούτῳ τὸ γιγνώσκειν ἑαυτόν. διὸ καὶ περὶ μὲν τούτων φησὶν ὁ Ἴων οὕτως (fr. 55 Tr. Gr. p. 743)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/246 UNIVERSITÄT LEIPZIG